σφαίρᾳ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΔ πρὸς
διὰ τὸ ιβ΄ τοῦ ε΄ τὴν ἐκ τοῦ κέντρου τῆς ἑτέρας σφαίρας. καὶ ὡς ἓν τῶν
ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων. οὕτως ἅπαν-
τα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα. ὥστε
ὅλον τὸ ἐν τῇ περὶ τὸ κέντρον τὸ Α σφαίρᾳ στερεὸν
πολύεδρον. πρὸς ὅλον τὸ ἐν τῇ ἑτέρᾳ σφαίρᾳ στε-
ρεὸν πολύεδρον. τριπλασίονα λόγον ἔχει. ἤπερ
ἡ ΑΒ πρὸς τὴν ἐκ τοῦ κέντρου τῆς ἑτέρας σφαίρας.
τουτέστιν ἤπερ ἡ ΒΔ διάμετρος πρὸς τὴν τῆς ἑτέρας
σφαίρας διάμετρον. ὅπερ ἔδει δεῖξαι:~

ιη΄ Αἱ σφαῖραι πρὸς ἀλλήλας ἐν τριπλασίονι λόγῳ εἰ-
σὶν τῶν ἰδίων διαμέτρων. νενοήσθωσαν σφαῖραι
αἱ ΑΒΓ ΔΕΖ διάμετροι δὲ αὐτῶν αἱ ΒΓ ΕΖ. λέγω ὅ-
τι ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν ΔΕΖ σφαῖραν τριπλα-
σίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. εἰ γὰρ μὴ ἡ
ΑΒΓ σφαῖρα πρὸς τὴν ΔΕΖ σφαῖραν τριπλασίονα
λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἕξει ἄρα ἡ ΑΒΓ
σφαῖρα πρὸς ἐλάσσονά τινα τῆς ΔΕΖ σφαίρας
τριπλασίονα λόγον ἢ πρὸς μείζονα ἤπερ ἡ ΒΓ
πρὸς τὴν ΕΖ. ἐχέτω πρότερον πρὸς ἐλάσσονα τὴν
ΗΘΚ καὶ νενοήσθω ἡ ΔΕΖ τῇ ΗΘΚ περὶ τὸ αὐτὸ κέν-
τρον. καὶ ἐγγεγράφθω εἰς τὴν μείζονα σφαῖραν τὴν
διὰ τὸ προλ. ΔΕΖ στερεὸν πολύεδρον μὴ ψαῦον τῆς ἐλάσσονος
σφαίρας τῆς ΗΘΚ κατὰ τὴν ἐπιφάνειαν. ἐγγεγρά-
φθω δὲ καὶ εἰς τὴν ΑΒΓ σφαῖραν τῷ ἐν τῇ ΔΕΖ σφαίρᾳ
στερεῷ πολυέδρῳ ὅμοιον στερεὸν πολύεδρον. τὸ

ἄρα ἐν τῇ ΑΒΓ στερεὸν πολύεδρον πρὸς τὸ ἐν τῇ ΔΕΖ
στερεὸν πολύεδρον. τριπλασίονα λόγον ἔχει ἤπερ
ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἔχει δὲ καὶ ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν
ΗΘΚ σφαῖραν τριπλασίονα λόγον. ἤπερ ἡ ΒΓ πρὸς
τὴν ΕΖ. ἔστιν ἄρα ὡς ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν ΗΘΚ
σφαῖραν. οὕτως τὸ ἐν τῇ ΑΒΓ σφαίρᾳ στερεὸν πο-
λύεδρον πρὸς τὸ ἐν τῇ ΔΕΖ σφαίρᾳ στερεὸν πολύε-
δρον. ἐναλλὰξ ἄρα ὡς ἡ ΑΒΓ σφαῖρα πρὸς τὸ ἐν αὐ-
τῇ πολύεδρον. οὕτως ἡ ΗΘΚ σφαῖρα πρὸς τὸ ἐν
τῇ ΔΕΖ σφαίρᾳ στερεὸν πολύεδρον. μείζων δὲ
ἡ ΑΒΓ σφαῖρα τοῦ ἐν αὐτῇ πολυέδρου. μείζων ἄ-
ρα καὶ ἡ ΗΘΚ σφαῖρα τοῦ ἐν τῇ ΔΕΖ σφαίρᾳ πολυ-
έδρου. ἀλλὰ καὶ ἐλάττων. ἐμπεριέχεται γὰρ ὑπ' αὐ-
τοῦ. οὐκ ἄρα ἡ ΑΒΓ σφαῖρα πρὸς ἐλάσσονα τῆς
ΔΕΖ σφαίρας τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ
διάμετρος πρὸς τὴν ΕΖ. ὁμοίως δὴ δείξομεν. ὅτι πάλιν διὰ τὰ αὐ.
οὐδὲ ἡ ΔΕΖ σφαῖρα πρὸς ἐλάσσονα τῆς ΑΒΓ σφαί-
ρας τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν
ΒΓ. λέγω δὴ ὅτι οὐδὲ ἡ ΑΒΓ σφαῖρα πρὸς μείζο-
νά τινα τῆς ΔΕΖ σφαίρας τριπλασίονα λόγον
ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. εἰ γὰρ δυνατόν. ἐχέ-
τω πρὸς μείζονα τὴν ΛΜΝ. ἀνάπαλιν ἄρα ἡ
ΛΜΝ σφαῖρα πρὸς τὴν ΑΒΓ σφαῖραν τριπλασίο-
να λόγον ἔχει ἤπερ ἡ ΕΖ διάμετρος πρὸς τὴν ΒΓ διὰ τὸ ε΄ τοῦ αὐ.
διάμετρον. ὡς δὲ ἡ ΛΜΝ σφαῖρα πρὸς τὴν ΑΒΓ
σφαῖραν. οὕτως ἡ ΔΕΖ σφαῖρα πρὸς ἐλάσσονα διὰ τὸ αὐ.

[BIBLIOTH]ECA BODLE[IANA]